[8]διὰ τοῦτο τάδε λέγει κύριος Ἰδοὺ ἐγὼ ἐπὶ σὲ καὶ ποιήσω ἐν 8
μέσῳ σου κρίμα ἐνώπιον τῶν ἐθνῶν [9]καὶ ποιήσω ἐν σοὶ ἃ οὐ 9
πεποίηκα καὶ ἃ οὐ ποιήσω ὅμοια αὐτοῖς ἔτι κατὰ πάντα τὰ βδε-
λύγματά σου. [10]διὰ τοῦτο πατέρες φάγονται τέκνα ἐν μέσῳ σου, 10
καὶ τέκνα φάγονται πατέρας· καὶ ποιήσω ἐν σοὶ κρίματα καὶ δια-
σκορπιῶ πάντας τοὺς καταλοίπους σου εἰς πάντα ἄνεμον. [11]διὰ 11
τοῦτο Ζῶ ἐγώ, λέγει κύριος, εἰ μὴ ἀνθ᾽ ὧν τὰ ἅγιά μου ἐμίανας
ἐν πᾶσιν τοῖς βδελύγμασίν σου, κἀγὼ ἀπώσομαί σε, οὐ φείσεταί
μου ὁ ὀφθαλμός, κἀγὼ οὐκ ἐλεήσω. [12]τὸ τέταρτόν σου ἐν θανάτῳ 12
ἀναλωθήσεται· καὶ τὸ τέταρτόν σου ἐν λιμῷ συντελεσθήσεται ἐν
μέσῳ σου· καὶ τὸ τέταρτόν σου εἰς πάντα ἄνεμον σκορπιῶ αὐ-
τούς· καὶ τὸ τέταρτόν σου ἐν ῥομφαίᾳ πεσοῦνται κύκλῳ σου, καὶ
μάχαιραν ἐκκενώσω ὀπίσω αὐτῶν. [13]καὶ συντελεσθήσεται ὁ θυμός 13
μου καὶ ἡ ὀργή μου ἐπ᾽ αὐτούς, καὶ ἐπιγνώσῃ διότι ἐγὼ κύριος
λελάληκα ἐν ζήλῳ μου ἐν τῷ συντελέσαι με τὴν ὀργήν μου ἐπ᾽
αὐτούς. [14]καὶ θήσομαί σε εἰς ἔρημον καὶ τὰς θυγατέρας σου κύκλῳ 14
σου ἐνώπιον παντὸς διοδεύοντος, [15]καὶ ἔσῃ στενακτὴ καὶ δηλαϊ- 15
στὴ ἐν τοῖς ἔθνεσιν τοῖς κύκλῳ σου ἐν τῷ ποιῆσαί με ἐν σοὶ
κρίματα ἐν ἐκδικήσει θυμοῦ μου· ἐγὼ κύριος λελάληκα. [16]ἐν τῷ 16
ἐξαποστεῖλαί με τὰς βολίδας μου τοῦ λιμοῦ ἐπ᾽ αὐτοὺς καὶ ἔσονται
εἰς ἔκλειψιν, καὶ συντρίψω στήριγμα ἄρτου σου. [17]καὶ ἐξαποστελῶ 17
ἐπὶ σὲ λιμὸν καὶ θηρία πονηρὰ καὶ τιμωρήσομαί σε, καὶ θάνατος
καὶ αἷμα διελεύσονται ἐπὶ σέ, καὶ ῥομφαίαν ἐπάξω ἐπὶ σὲ κυ-
κλόθεν· ἐγὼ κύριος λελάληκα.

[1]Καὶ ἐγένετο λόγος κυρίου πρός με λέγων [2]Υἱὲ ἀνθρώπου, στή- 6
ρισον τὸ πρόσωπόν σου ἐπὶ τὰ ὄρη Ισραηλ καὶ προφήτευσον ἐπ᾽
αὐτὰ [3]καὶ ἐρεῖς Τὰ ὄρη Ισραηλ, ἀκούσατε λόγον κυρίου Τάδε λέγει 3
κύριος τοῖς ὄρεσιν καὶ τοῖς βουνοῖς καὶ ταῖς φάραγξιν καὶ ταῖς
νάπαις Ἰδοὺ ἐγὼ ἐπάγω ἐφ᾽ ὑμᾶς ῥομφαίαν, καὶ ἐξολεθρευθήσεται
τὰ ὑψηλὰ ὑμῶν, [4]καὶ συντριβήσονται τὰ θυσιαστήρια ὑμῶν καὶ τὰ 4
τεμένη ὑμῶν, καὶ καταβαλῶ τραυματίας ὑμῶν ἐνώπιον τῶν εἰδώ-
λων ὑμῶν [5]καὶ διασκορπιῶ τὰ ὀστᾶ ὑμῶν κύκλῳ τῶν θυσιαστη- 5
ρίων ὑμῶν. [6]ἐν πάσῃ τῇ κατοικίᾳ ὑμῶν αἱ πόλεις ἐξερημωθήσονται 6

9 ου πεποιηκα] ουκ εποιησα A: cf. 7 | και α ου] και ου μη A || 11 ει μη] ει μην B, η μην *L* | εν πασιν B†] + τοις προσοχθισμασι(ν) σου και εν πασι(ν) rel. (in *O* sub ※) | ου] pr. και A | fin.] + σε A || 12 σκορπιω] διασπερω A || 13 ζηλω] pr. τω A || 15 δηλαιστη B*†] δηλαιαστη Bc†, δηλαια A | εν εκδικησει B†] pr. εν οργη και (εν) θυμω και rel. (in *O* sub ※) || 16 init.] pr. και B† | λιμου] θυμου A: ex 15

6 3 κυριου Bpau.] pr. αδωναι rel.: cf. 5 5 | κυριος B†] pr. αδωναι rel.: cf. 5 5 | φαραγξι(ν) ... ναπαις] tr. A | εγω > B || 5 init. B†] pr. και δωσω τα πτωματα των υιων ισραηλ κατα προσωπον των ειδωλων αυτων rel. (in *O* sub ※)

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id41624694X/781 UNIVERSITÄT LEIPZIG